# New Testament Translation 1

## Mark 11:1-11, 15-19
## Acts 14:8-20

### The Triumphal Entry (Mark 11:1-11)

**The Triumphal Entry into Jerusalem**
(Mt 21.1–11; Lk 19.28–40; Jn 12.12–19)

**11** Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἱεροσόλυμα εἰς Βηθφαγὴ
καὶ Βηθανίαν πρὸς τὸ Ὄρος τῶν Ἐλαιῶν, ἀποστέλλει
δύο τῶν μαθητῶν αὐτοῦ 2 καὶ λέγει αὐτοῖς, Ὑπάγετε εἰς
τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθὺς εἰσπορευόμενοι
εἰς αὐτὴν εὑρήσετε πῶλον δεδεμένον ἐφ᾽ ὃν οὐδεὶς οὔπω
ἀνθρώπων ἐκάθισεν· λύσατε αὐτὸν καὶ φέρετε. 3 καὶ ἐάν
τις ὑμῖν εἴπῃ, Τί ποιεῖτε τοῦτο; εἴπατε, Ὁ κύριος αὐτοῦ
χρείαν ἔχει,[a] καὶ εὐθὺς αὐτὸν ἀποστέλλει πάλιν[1] ὧδε.

4 καὶ ἀπῆλθον καὶ εὗρον πῶλον δεδεμένον πρὸς θύραν
ἔξω ἐπὶ τοῦ ἀμφόδου καὶ λύουσιν αὐτόν. 5 καί τινες τῶν
ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς, Τί ποιεῖτε λύοντες τὸν
πῶλον; 6 οἱ δὲ εἶπαν αὐτοῖς καθὼς εἶπεν ὁ Ἰησοῦς,
καὶ ἀφῆκαν αὐτούς. 7 καὶ φέρουσιν τὸν πῶλον πρὸς τὸν
Ἰησοῦν καὶ ἐπιβάλλουσιν αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ
ἐκάθισεν ἐπ᾽ αὐτόν. 8 καὶ πολλοὶ τὰ ἱμάτια αὐτῶν
ἔστρωσαν εἰς τὴν ὁδόν, ἄλλοι δὲ στιβάδας κόψαντες ἐκ
τῶν ἀγρῶν. 9 καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες
ἔκραζον,

**Ὡσαννά·**
**Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου·**
10 *Εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς*
*ἡμῶν Δαυίδ·*
**Ὡσαννὰ** ἐν τοῖς ὑψίστοις.

11 Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα εἰς τὸ ἱερὸν καὶ περι-
βλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν
εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.

## The Clearing of the Temple (Mark 11:15-19)

### The Cleansing of the Temple

(Mt 21.12–17; Lk 19.45–48; Jn 2.13–22)

15 *Καὶ* ἔρχονται εἰς Ἱεροσόλυμα. καὶ εἰσελθὼν εἰς
τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ τοὺς
ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυ-
βιστῶν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς
κατέστρεψεν, 16 καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος
διὰ τοῦ ἱεροῦ. 17 καὶ ἐδίδασκεν καὶ ἔλεγεν αὐτοῖς, Οὐ
γέγραπται ὅτι

**Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσιν τοῖς ἔθνεσιν;**

ὑμεῖς δὲ πεποιήκατε αὐτὸν σπήλαιον λῃστῶν.

18 καὶ ἤκουσαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ
ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν· ἐφοβοῦντο γὰρ αὐτόν, πᾶς
γὰρ ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. 19 *Καὶ*
ὅταν ὀψὲ ἐγένετο, ἐξεπορεύοντο ἔξω τῆς πόλεως[2].

## Paul & Barnabas in Lystra (Acts 14:8-20)

### Paul and Barnabas at Lystra

8 Καί τις ἀνὴρ ἀδύνατος ἐν Λύστροις τοῖς ποσὶν
ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὃς οὐδέποτε
περιεπάτησεν. 9 οὗτος ἤκουσεν τοῦ Παύλου λαλοῦντος·
ὃς ἀτενίσας αὐτῷ καὶ ἰδὼν ὅτι ἔχει πίστιν τοῦ σωθῆναι,
10 εἶπεν μεγάλῃ φωνῇ, Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου
ὀρθός. καὶ ἥλατο καὶ περιεπάτει. 11 οἵ τε ὄχλοι ἰδόντες
ὃ ἐποίησεν Παῦλος ἐπῆραν τὴν φωνὴν αὐτῶν Λυκαονιστὶ
λέγοντες, Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν
πρὸς ἡμᾶς, 12 ἐκάλουν τε τὸν Βαρναβᾶν Δία, τὸν δὲ
Παῦλον Ἑρμῆν, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου.
13 ὅ τε ἱερεὺς τοῦ Διὸς τοῦ ὄντος πρὸ τῆς πόλεως ταύρους
καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας σὺν τοῖς ὄχλοις
ἤθελεν θύειν. 14 ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρναβᾶς



καὶ Παῦλος διαρρήξαντες τὰ ἱμάτια αὐτῶν ἐξεπήδησαν
εἰς τὸν ὄχλον κράζοντες 15 καὶ λέγοντες, Ἄνδρες, τί
ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρω-
ποι εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων
ἐπιστρέφειν ἐπὶ θεὸν ζῶντα, ὃς ἐποίησεν τὸν οὐρανὸν καὶ
τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·
16 ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς εἴασεν πάντα τὰ
ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν· 17 καίτοι οὐκ ἀμάρτυ-
ρον αὐτὸν ἀφῆκεν ἀγαθουργῶν, οὐρανόθεν ὑμῖν ὑετοὺς
διδοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ
εὐφροσύνης τὰς καρδίας ὑμῶν. 18 καὶ ταῦτα λέγοντες
μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς[1].
19 Ἐπῆλθαν δὲ[2] ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰου-
δαῖοι καὶ πείσαντες τοὺς ὄχλους[3] καὶ λιθάσαντες τὸν
Παῦλον ἔσυρον ἔξω τῆς πόλεως νομίζοντες αὐτὸν τεθνη-
κέναι. 20 κυκλωσάντων δὲ τῶν μαθητῶν αὐτὸν ἀναστὰς
εἰσῆλθεν εἰς τὴν πόλιν. καὶ τῇ ἐπαύριον ἐξῆλθεν σὺν τῷ
Βαρναβᾷ εἰς Δέρβην.